αὐτῷ παρέξει· δεῖ δὲ μὴ δοῦναι λόγον
μηδὲ χ[ρ]όνον ἡ[μ]ᾶς. Παῖ, διατρίβεις; οὐ δραμεῖ;
].[..].ος ἡ γυνὴ
].ἱκετεύω· τί οὖν;
]..[..].......[

................ *imae p. 7 desunt 7* ................

P. 8 ........ *p. 8 summae 5 fere uersus* ............

].δρόμου καλο[ῦ
χει]μὼν ἀπ[ροσδ]όκητος ἐξαίφνης [⏑–
ἐλθών· ἐκεῖνος τοὺς ἐν εὐδίᾳ ποτὲ
θέοντας ἐξήραξε κἀνεχαίτισε.
Τοιοῦτο γὰρ καὶ τοὐμόν ἐστι νῦν· ἐγὼ
ὁ τοὺς γάμους ποῶν, ὁ θύων το[ῖ]ς θεο[ῖς,
ᾧ πάντα κατὰ νοῦν ἀρτίως ἐγίγν[ετο,
οὐδ' εἰ βλέπω, μὰ τὴν Ἀθηνᾶν, οἶδ[α νῦν
καλῶ⟨ς⟩ ἔτ', οὔκ·[ἀ]λλ' ἐπὶ τ[ὸ] πρόσθεν ἔ[ρχομαι
πληγ]ήν τιν' ἀνυπέρβλητον ἐξ[αίφνης λαβών.
Cod. C (G[1]) Ἔστ[ὶ] πιθανόν; Σκέψασθε πότερο[ν εὖ φρονῶ
ἢ μαίνομ'· οὐδέν †γ'† εἰς ἀκρίβειαν [τότε
λαβὼν ἐπάγομαι μέγ' ἀτύχημα [–⏑–
Ὡς γὰρ τάχιστ' εἰσῆλθον, ὑπερεσπουδακὼς